εἶμι παρὰ στάθμην ὀρθὴν ὁδόν, οὐδετέρωσε
κλινόμενος· χρὴ γάρ μ' ἄρτια πάντα νοεῖν. ×

---

πατρίδα κοσμήσω, λιπαρὴν πόλιν, οὔτ' ἐπὶ δήμωι
τρέψας οὔτ' ἀδίκοις ἀνδράσι πειθόμενος.

---

νεβρὸν ὑπὲξ ἐλάφοιο λέων ὣς ἀλκὶ πεποιθὼς =1278c
ποσσὶ καταμάρψας αἵματος οὐκ ἔπιον· d
τειχέων δ' ὑψηλῶν ἐπιβὰς πόλιν οὐκ ἀλάπαξα·
ζευξάμενος δ' ἵππους ἅρματος οὐκ ἐπέβην·
πρήξας δ' οὐκ ἔπρηξα, καὶ οὐκ ἐτέλεσσα τελέσσας,
δρήσας δ' οὐκ ἔδρησ', ἤνυσα δ' οὐκ ἀνύσας.

---

δειλοὺς εὖ ἔρδοντι δύω κακά· τῶν τε γὰρ αὐτοῦ
χηρώσει πολλῶν, καὶ χάρις οὐδεμία.

---

εἴ τι παθὼν ἀπ' ἐμεῦ ἀγαθὸν μέγα μὴ χάριν οἶδας,
χρήιζων ἡμετέρους αὖθις ἵκοιο δόμους.

---

⊗ ἔστε μὲν αὐτὸς ἔπινον ἀπὸ κρήνης μελανύδρου,
ἡδύ τί μοι ἐδόκει καὶ καλὸν ἦμεν ὕδωρ·
νῦν δ' ἤδη τεθόλωται, ὕδωρ δ' ἀναμίσγεται ὕδει·
ἄλλης δὴ κρήνης πίομαι ἢ ποταμοῦ. ⊗

---

μήποτ' ἐπαινήσηις, πρὶν ἂν εἰδῆις ἄνδρα σαφηνέως,



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/242 UNIVERSITÄT LEIPZIG